λέγεται δὲ ἀπὸ τῶν Τρῳάδων κεινουσῶν τὸν Αἴαντα καὶ τὸν Ὀδυσσέα. λέγεται δὲ, ὅτι οὐ τοῦ Αἴαντος ἔργον ἀλλὰ τὸ τοῦ Ὀδυσσέως. ταῦτα δὲ λέγει, διὰ τὰ ἐν Πύλῳ, ἃ Δημοσθένης μὲν προελύσεν. οὗτος δὲ ἰδιοποιήσατο. Πρὸ Πύλου

A Πύλον] πρὸς τὴν κατάληξιν ἔπαιξεν ὅτι ἀεὶ προσκορής ἐστι περὶ Πύλου λέγων. Ἔστι Πύλος.] τοῦτο χρησμός. ἔστι Πύλος πρὸ Πύλοιο. Πύλος γε μήν ἐστι καὶ ἄλλη.

Αλ. Τὰς πυέλους φησὶ καταλήψεσθ' ἐν βαλα-
Δη. Ἐγὼ δ' ἄλουτος τήμερον γενήσομαι. (νείῳ.
Αλ. Αὐτὸς γὰρ ἡμῶν τὰς πυέλους ἀφήρπασεν.
Ἀλλ' οὑτοσὶ γάρ ἐστι περὶ τοῦ ναυτικοῦ,
Ὁ χρησμὸς, ᾧ σε δεῖ προσέχειν τὸν νοῦν πάνυ.
Δη. Προσέχω, σὺ δ' ἀναγίνωσκε τοῖς ναύταισί
μου,
Ὅπως ὁ μισθὸς πρῶτον ἀποδοθήσεται. (λώσῃ,
Αλ. Αἰγείδη, φράσαι κυναλώπεκα, μή σε δο-
Λάθαργον, ταχύπουν, δολίαν κερδὼ πολύϊδριν,
Οἶσθ' ὅ τι τοῦτό ἐστι; Δη. Φιλόστρατος, ἡ κυνα-
λώπηξ.
Αλ. Οὐ τοῦτό φησιν, ἀλλὰ ναῦς ἑκάστοτε
Αἰτεῖ ταχείας, ἀργυρολόγους οὑτοσὶ,
Ταύτας ἀπαυδᾷ μὴ διδόναι σ' ὁ Λοξίας.
Δη. Πῶς δὴ τριήρης ἐστὶ κυναλώπηξ; Αλ. ὅπως,
Ὅτι ἡ τριήρης ἐστὶ χὡ κύων, ταχύ.
Δη. Πῶς οὖν ἀλώπηξ προσετέθη πρὸς τῷ κυνί,
Αλ. Ἀλωπεκίοισι τοὺς στρατιώτας ᾔκασεν,
Ὅτι ἡ βότρυς τρώγουσιν ἐν τοῖς χωρίοις.
Δη. Εἶεν.
Τούτοις ὁ μισθὸς τοῖς ἀλωπεκίοισι πού;
Αλ. Ἐγὼ πορίω καὶ τοῦτον ἡμερῶν τριῶν.
Ἀλλ' ἔτι τόνδ' ἐπάκουσον, ὅν εἶπέ σοι ἐξαλέασθαι,
Χρησμὸν Λητοΐδης Κυλλήνην, μή σε δολώσῃ.
Δη. Ποίαν Κυλλήνην; Αλ. τὴν τούτου χεῖρ' ἐ-
ποίησε
Κυλλήνην, ὀρθῶς ὅτι φησ' ἔμβαλε κυλλῇ.
Κλ. Οὐκ ὀρθῶς φράζεις, τὴν Κυλλήνην γὰρ ὁ
Φοῖβος

AG. *Se suffuratum dicit per balnea pelues.*
PO. *Igitur illoto viuendum erit hodie mihi.*
AG. *Quia enim labra & pelues hic nobis abstulit.*
*At hoc de classe datum est oraculum mihi:*
B *In quo percipiendo, animum opus est aduertere.*
PO. *Aduerto sane: tu recita nautis meis:*
*Vt illis primo numeretur stipendium.*
AG. *Ægide, caueas caniuulpem, ne male fallat,*
*Astutam, celerem, mordentem pone, dolosam.*
*Nosti hoc, quale sit?* PO. *iste Philostratus est, caniuulpes.*
AG. *Non hoc vult, sed naues vbique postulat*
C *Celeres, & quæstuarias, oraculum:*
*Eas te dare vetat hic Apollo Delphicus.*
PO. *Quomodo triremis sit caniuulpes?* AG. *hoc modo:*
*Quia triremis etiam fortassis est canis.*
PO. *At quomodo vulpes apponitur ad canem?*
AG. *Vulpeculis Deus assimilauit milites:*
*Quoniam botros comedunt in his regionibus.*
D PO. *Esto: at merces vnde istis danda vulpibus?*
AG. *Ego mercedem trium dierum porrigam.*
*Verum etiã hac capias oracula, quæ tibi dixit,*
*Cyllenam vt caueas, (ne te deludat) Apollo.*
PO. *Qualem Cyllenam?* AG. *dextram nempe huius Apollo*
*Innuit, & recte: quoniam claudæ indidit, inquit.*
E CL. *Nõ recte dicis: Cyllena hac Phœbus Apollo*

Σχόλια. Τὰς πυέλους.] τὰς ἐμβάσεις. πύελος γὰρ ὄρυγμα. ἐμβατή. ἔνθα ἀπολούονται. ἀντὶ τοῦ τὴν ἐν Πύλῳ πρᾶξιν Δημοσθένους. Ὁ μισθὸς ἀποδοθήσεται.] ὡς τοῦ Κλέωνος ἀποστεροῦντος. ἐν ἐκθέσει δ' ἴαμβοι ἕξ. ἐπὶ τῷ τέλει παράγραφος. ἔπαιξε δὲ τῷ ὀνόματι, διὰ τὸ συνεχῶς τῆς πόλεως μεμνῆσθαι τὸν Κλέωνα. Αἰγείδη φράσαι.] ἐν ἐκθέσει ἐπικοὶ τρεῖς. ἐπὶ τῷ τέλει παράγραφος. ἀπὸ δὲ τῶν ζώων διαβάλλει τὸν Κλέωνα, ὡς ἀναιδῆ καὶ πανοῦργον. Μή σε δολώσῃ.] μή σε δόλῳ ὑπέλθῃ. Λαίθαργον.] λαίθαργοι κύνες λέγονται, αἱ λάθρα προσιοῦσαι καὶ δάκνουσαι. πολύϊδριν δὲ, ὅτι πολύπειροι αἱ ἀλώπεκες. καὶ παροιμία. πόλλ' οἶδ' ἀλώπηξ. ἀλλ' ἐχῖνος ἓν μέγα. παρὰ δὲ τὴν παροιμίαν ἔπαιξε. σαίνεις δάκνουσα καὶ κύων λαίθαργος εἶ. κερδὼ δὲ ἡ ἀλώπηξ παρὰ τὴν κερδοσύνην, τουτέστι τὴν πανουργίαν. ὡς Εἰδοθέα, Εἰδώ. καὶ Ὑψιπύλη, Ὑψώ. Φιλόστρατος κυναλώπηξ.] οὕτως ἐκαλεῖτο ὁ Φιλόστρατος. λέγει δὲ αὐτὸν καὶ πορνοβοσκὸν καὶ καλλωπιστήν. Οὐ τοῦτό φησιν.] οἱ ἑξῆς οὗτοι στίχοι ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι ὀκτώ. ἑξῆς δὲ κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. λείπεται γὰρ ὅλου ποδὸς πρὸς τὴν συζυγίαν. καὶ ἑξῆς αὖ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι δύο. ἐπὶ τῷ τέλει παράγραφος. Ἀλλὰ ναῦς ἑκάστοτε.] τὰς ἐκπεμπομένας, ἀπὸ τῶν νήσων ἀναπράττεσθαι τοὺς φόρους. οἱ δὲ ἐκπεμπόμενοι πολλὰ ἐκέρδανον. Ταχείας ἀργυρολόγους.] πολεμίας. τὰς συλλεγούσας ἀργύρειον. καὶ λήμματα αὐτῷ ποιούσας. ἐλέγοντο δὲ, πάραλοι καὶ σαλαμίνιαι. Ἀλωπεκίοισιν.] ὁμοίωσέ φησιν ἀλώπηξιν αὐτούς. τοῦτο δέ φησι, παρ' ὅσον παραπλέοντες οἱ ναῦται ἐξορμῶσιν. ἔπειτα ἐπειδὰν παρεῶσιν ἀμπέλους πορθοῦσι τοὺς βότρυας διαρπάζοντες.

F BISETVS. Εἶεν.] τὸ ἰαμβικὸν, μονόμετρον, βραχυκατάληκτον κῶλον τὸ ἐν τοῖς σχολίοις λεγόμενον. καὶ χωρὶς ὑπογραπτέον οὕτω,

Εἶεν.

Τούτοις ὁ μισθὸς τοῖς ἀλωπεκίοισι ποῦ;

Σχόλια. Τούτοις ὁ μισθός.] αἰνίττεται διὰ τούτων περὶ τῶν θεωρικῶν χρημάτων, ὅτι χρὴ μᾶλλον τοῖς στρατευομένοις αὐτὰ δίδοσθαι. Καὶ τοῦτον ἡμερῶν τριῶν.] εἰώθασιν εἰς τὸν πόλεμον ἐξιόντες οἱ στρατιῶται λαμβάνειν τροφὴν ἡμερῶν τριῶν. Ἀλλ' ἔτι.] ἐν ἐκθέσει ἐπικὰ ἐννεακαίδεκα. ἐπὶ τῷ τέλει παράγραφος καὶ κορωνὶς ὡς εἴρηται. Κυλλήνην μή σε.] Κυλλήνη πόλις ἐστὶ τῆς Ἀρκαδίας, διότι καὶ ἐχρήσατο τῷ ὀνόματι δῆλον ἀπὸ τῶν ἑξῆς ἵνα παρονομάσῃ τὴν κυλλὴν χεῖρα, εἰς δωροδοκίαν καὶ διασεισμὸν διαβάλλων τὸν Κλέωνα. οἱ γὰρ διασείοντές τινας καὶ δωροδοκοῦντες, κοιλαίνουσι τὴν χεῖρα, καὶ ὑποβάλλοντες ὑπὸ τὸ ἱμάτιον αὐτοῦσι. Τὴν τούτου χεῖρ.] ἐκ μεταφορᾶς τῶν παιδίων, τῶν αἰτούντων καὶ κοιλαινούντων τὰς χεῖρας, ᾐνίξατο. Ἔμβαλε κυλλῇ.] οἱ μάγειροι ἐπειδὰν πλάττωσί τι, λέγουσιν. ἔμβαλε τῇ λαιᾷ.